# Μάθημα 6/12/2019

## Γυναίκες ως θύματα και θύτες βίας κατά την ρωμαϊκή εποχή μέσα από τις αιτήσεις.

p.mich 5.228
47 μ.Χ. Tebtynis

ὡς (ἐτῶν) κς οὐλὴ τραχή(λῳ) ἐξ ἀρ(ιστερῶν)
καὶ πήχι(*) ἀριστερῶι
ἡ γυ(νὴ) Ταναοῦρις Ἡρωνᾶτος κατὰ Βεντήτιος
τοῦ Βεντήτιος.
παρὰ Θουώνιος τοῦ Ἀκουσιλάου τῶν ἀπὸ Ἄρεως Κώμης τῇ
κς τοῦ ἐνεστῶτος μηνὸς Νέου Σεβαστοῦ τοῦ η (ἔτους) Τιβερίου.
(hand 2) Ἀπολλωνίῳ στρατηγῷ Ἀρσινοείτου
παρὰ Θουῴνιος τοῦ Ἀκουσιλάου τῶν ἀπὸ Ἄ-
ρεος(*) Κώμης [τῆ]ς Πολέμωνος μερίδος τῇ κς
τοῦ ἐνεστῶτος μηνὸς Νέου Σεβαστοῦ τοῦ
η (ἔτους) Τιβερίου Κλαυδίου Καίσαρος Σεβαστοῦ
Γερμανικοῦ Αὐτοκράτορος. ἐμοῦ λογοπυοιου-
μένου(*) πρὸς Βεντῆτιν Βεντήτιος προβατοκτη-
νοτρόφου τῶν ἀπὸ Ὀξυρύνχων τῆς αὐτῆς
μερίδος περὶ ὧν ὀφίλι(*) μοι ὠψωνίων(*) καὶ με-
τρημάτων ούντος(*) οὖν μὴ βουλόμενος
ἀποδοῦναι ἀλλὰ καὶ διαπλανωναι(*) ὕβριν
μοι ἐπετέλεσον(*) καὶ τῇ γυναικί μου Τανού-
ρει Ἡρωνᾶτος ἐν τῇ δηλουμένῃ Ἄ-
ρεος(*)
Κώμης. ἔτι δὲ καὶ ἔδωκεν τῇ γυ(ναικὶ) Τανουνρι(*)
ἀφιδέτερα(*) πληγὰς πλήρους(*) εἰς τὰ παρατυχ-
όντα μέρη τοῦ σώματος ἐνκοίου(*) οὔσῃ ὥσ-
ται(*) παρ᾽ αὐτῇ ἐκτέτρωται {αὐτὴν} τωὶ(*)
βρέφος νεκρὸν ὥσ-
ται(*) αὐτὴν κατακλει-
νην(*) εἶναι καὶ κυνδυνεύειν(*) τοῦ ζῆν.
διω(*) ἀξιῶ γράψαι τοῖς τῆς Ὠξυρύνχων προσ-
βυτέροις(*) ἐκπέμψαι τὸν ἐνκαλούμενον ἐ-
πὶ σαὶ(*) πρὸς τὴν ἐσομένην ἐπέξοδον.
εὐτύχει.
ἔτους ὀγδώου(*) Τιβερίου Κλαυδίου Καίσαρος
Σεβαστοῦ Γερμανικοῦ Αὐτοκράτορος

μη(νὸς) Νέου Σεβαστοῦ κς
Θουῶνις ὡς (ἐτῶν) κς οὐλὴ τραχήλ(ῳ) ἐξ ἀριστερῶ̣ν καὶ πήχι(*) ἀρ(ιστερῷ).

p.hamb 4.240
119/20 μ.Χ.

-- -- -- -- -- -- -- -- -- --

κ̣α̣ι[. . ]. . . . . . . . [ -ca.?- τῇ]
αὐτῇ οἰκίᾳ̣ . ἐν ⟦. ἑτέροις .τ[ -ca.?- ]
τῶν ἑαυτῶν ἀνδρῶν Σ̣ι̣ς[ -ca.?- ]
καὶ Φίβεως· καὶ αὐ[τ]ῆς λ. . . [ποιου-]
μ̣έ̣νης πρός τε τὴν Θ̣α̣ι̣σ̣[άριον καὶ]
Θενα̣πύγχιν περὶ τούτ[ου αὐθά-]
δως χρησάμεναι ἐπή̣ν̣[εγκαν]
αὐτῆι τε καὶ τῇ ἀδελφῇ α̣[ὐτῆς]
πληγὰς πλείους εἰς τὰ π̣[αρατυ-]
χόντα μέρηι(*) τοῦ σώματ[ος. τῶν δὲ]
ἑαυτῶν ἀνδρῶν εἰς οἰκ̣[ίαν τοῦ]
Φίβεως ἐπι<σ>τρεψάντων [ἐκ τοῦ]
πληχθῆναι ἡ μὲν οὖν ς[. ]. [ -ca.?- ]
Ἡρῶς κλινήρης ὑπάρχε̣ι ἔ[γκυος]
οὖ̣σα μηνῶν ζ ἕνεκ̣α̣ [τῶν]
ἐπενεχθ̣εισῶν αὐτῇ πλη[γῶν]
κινδυνεύουσα τῷ ζῆν .τῇ [ἀνο-]
μία̣ τῶν ἐνκ̣αλουμένω̣ν. [ἡ δὲ]

[ἐ]πιγνοῦσα ἑαυτῆς τὴν ἀ̣[δελφὴν]
[κ]λινηρης(*) εἶ̣ναι καὶ α. [ -ca.?- ]
[. . . ]. ησ̣θηι ἀσ̣θα̣ι̣ν̣ε̣ῖν(*). δ[ιὸ]
[ἐ]π̣ὶ σ̣ὲ τὴν κα̣ταφυγὴ̣ν ποιο̣[ύμενος]
[ἀξ]ιῶι(*) ἀχθῆ̣ν̣α̣ι . . [ -ca.?- αὐ-]
[το]ὺς ἐπὶ σ[ὲ] ὅ̣π̣ως τ[οῦ δικαίου]
[τύ]χω̣´ διευτύχ[ε]ι.
Φῖβις ῷ̣ς (ἐτῶν) λ ο̣ὐ̣λὴ̣ . [ -ca.?- ]
(ἔτους) δ̣ Αὐτοκράτορος Κ̣αίσαρο[ς Τραιανοῦ]
Ἀ̣δ̣ρ̣ιαν[οῦ Σεβαστοῦ -ca.?- ]

Bgu 4 1061
14 π.Χ. Alexandria

r

(hand 2) [. ]ελ( ) (ἔτους) ις Τῦ(βι) λ
(hand 1) Νεάρχωι ὑποστρατήγωι
παρὰ Πνεφορῶτος τοῦ Ἡρακλείου τῶν ἐκ Σιναρὺ τοῦ

πέραν. προσαγγέλλω σοί, ὃν τρόπον ἐν τῶι διελη-
λυθότι <ἔτει> ἐπιβαλόντες Π̣α̣τῆλλις τῶν ἐκ τῆς Σιναρὺ
υἱὸς Μεσθα\σ/ῦτος(*) σὺν ἑτέροις καὶ προσλαπὼν(*)
ὄργανον ἀλλοι(*) ἄνδρες(*) ιε τῶν ἐκ τῆς αὐτῆς
τῶι ἐν τῶι ἐν Βουσίρει ἱερῶι Ἑλλανίκου παστο-
φορίωι τὴν ἀποτεταγμένην πρὸς τῆι
τηρήσει θυρωρὸν Μ̣αλήφιος γυναῖκα
παραχρῆμα ἐφόνευσαν. ἔτι δὲ καὶ τὸν
τούτου νεώτερον ἀδελφὸν Ἀμβῆσιν σὺμ(*)
Πνεφορῶτι Πετεσούχου φερομένωι ἐν τῆι
κατοικίαι ἐπιθέμενοι ληστρικῶι τρόπωι
ἐπί τινα ἔμπορον τῶν ἐκ τοῦ Ὀξυρυγχίτου
ἐξέδυσαν καὶ περιείλοντο αὐτοῦ πόκους
ἐ̣ρίων ρν καὶ ἀργυ(ρίου) (δραχ̣μὰς) Αφ, περὶ ὧν καὶ ἐν
αὐτῆι τῆι Σιναρὺ παρεδόθησαν καὶ πρὸς
τὸ μὴ ἐκθριαμβισθῆναι τὸ πρᾶγμα ἀπε-
[λύθησαν.] ἔτι δὲ καὶ πλοίου τινὸς κατά-
[γοντος . . . . . . . . .] ἐν τῶι ἰδίωι αὐτοῦ κλήρωι
[- ca.12 -σκε]υηι(*) καὶ ἕτερα πλεί[ον]α
[- ca.14 - τὴ]ν̣ ἰδίαν αὐτῶν
[- ca.15 - πλ]ειόσιν ἐνεχο-
[μένους ἀδικήμασι] καὶ αἰτίαις, ἀξιῶ
[- ca.13 - αὐ]τῶν τοῖς πράγμασι
[- ca.16 -]αν ποιούμενος
[- ca.20 -]ατοενπ . . . .
[- ca.23 -] ἐπὶ τῶν
[- ca.24 -]α̣σι τῆς

Traces 1 linev

(hand 3) επ̣α̣γ( ) .

Bgu 4 1139
5 π.X. Alexandria

Traces

Γ̣α̣ί̣ω̣ι Τυρρανίωι

παρὰ Σπινθῆρο(ς) το(ῦ) Ἁρπαήσιος κ̣α̣ὶ ̣τῆ(ς) ̣τ̣ο(ύτου) γ̣υ(ναικὸς) Ἀπολλωνίο̣υ̣(*) ̣τῆς

Λύκου ἀ̣μφ̣ο̣(τέρων)

π̣α̣ρ̣όντων ἀπὸ Λ̣ύκω̣ν πόλεω(ς) τῆ(ς) Θ̣ηβ̣α̣ΐ̣δ(ος). \π̣ά̣ρ̣ε̣σ̣μεν/ τὴν θυγατέρα ἡμῶ(ν) Ταθρεῖφιν

χαρν(*) τῆς ἐσχηκυίας ἡμᾶς κ̣ο̣ι̣ν̣κη β̣ι̣ω̣τ̣ι̣κῆ̣ς̣(*) θλε[ίψ]εως(*) ἐποιήσα-
μεν ε̣ἰ̣ς Π̣ά̣ρθον δοῦλο(ν) Χρήτο(υ) . . . παραμονὴν ἄγραφον \π̣ε̣ρ̣ὶ ̣τ̣ο̣ῦ ἐξ ἀλλήλων/ δι’ ἧς καὶ

ὡμολογήσαμ̣ε̣(ν)

\παιδίου ἔτι δὲ καὶ τροφεῖ̣τ̣ι̣ν̣(*) τοῦ γ̣ε̣ν̣ο̣μέν(ου)/ ̣τ̣ρ̣ο̣φ̣ε̣ι̣τ̣ι . . . ω̣( ) . . α̣ρ . . . α̣ρ̣ο̣( ) Ταθρεί[φιο]ς⟧ ἐξ

ἀλλήλων παιδίου Ταθρείφιος ὅπ̣ερ \δὲ(*) μετοννομάσας(*)/ μετ̣ω̣νόμ̣α̣σ̣ε̣ν̣ Πάρ̣θ̣ο̣ς̣ τ̣ὸ ὄ̣ν̣ο̣μ̣α̣(*) α̣ὐ̣τ̣ῇ ἐπέθηκεν Π̣ρ̣ίμ̣α̣, ἐν δὲ τῷ μεταξὺ ἡμῶν(*) π̣ί̣σ̣τ̣ι̣ν̣ ε̣ἰ̣σ̣ε̣ν̣ε̣γ̣κ̣α̣μένων \ἀπελύθημεν/ τ̣ύ̣χομεν ὑπὸ τοῦ Πάρθου ⟦ὡσαύτως τῆς τε παραμονῆς καὶ τῆς τροφείτιδος(*) ⟧ κατὰ τὴν γεγονυῖαν διὰ τοῦ καταλογείου π̣ε̣ρ̣ὶ τῆς ἀπολύσεως τῆς τε παραμονῆς καὶ τῆς τροφειδος(*) τοῦ ἐξονομαζομέ(νου) παιδίου ἀσφάλειαν, τῷ δὲ Ἐπεὶφ μηνὶ τοῦ κε (ἔτους) Καί̣σ̣α̣ρο(ς)(*) Πάρις δοῦλο(ς) τοῦ Χρήτου δοῦλο(ς) τῶν Χρήτ̣ο̣υ ἐπι- γνοὺς \συνιδὼν/ τὸν Πάρθον ἐν τοῖς ἔξ\ω/ τόποις ὄντα ἐτόλμησε κ̣α̣τ̣ὰ μ̣η̣δ̣ὲ̣ν̣(*) ἡμῶν αὐτῷ μη̣δ̣ὲ̣ν̣(*) ἀ̣δ̣ι̣κ̣ή̣σ̣αντας ἡμᾶς τ̣ή̣ν̣ τ̣ε̣ οἰκο̣ν̣ο̣μ̣ί̣α̣ν̣(*) ἀποσ̣τ̣ερ̣ε̣ῖ̣ν, ἀπαγαγεῖν <δὲ> τὴν θυγατέρα ἡμῶν Ταθρεῖφιν και την(*) Π̣ρ̣ίμ̣α(ν) καὶ ἔχειν παρ’ ἑαυτῶι ἐν εἱρκ̣τ̣[ῇ ἐπὶ] μ̣ῆ̣νας ε. διὸ ἀξιοῦμέν [σε] τὸν πάντων σωτῆρα καὶ ἀντιλήμπτορα ὑπὲρ σπλάγχνου τὸν ἀγῶνα ποιούμενοι ἐὰν φαίνηται προστάξαι παρασταθῆναι τὸ(ν) π̣ρ̣ο̣γ̣ε̣γραμμ̣έ̣ν̣ο̣ν̣(*) Πάρ[ι]ν καὶ προς ἐπαναγκάσαι παραγαγεῖν τὴν θυγατέρα ἡμῶν, [ἵν]α̣ ἀποκομισώμεθα αὐτὴν κ̣α̣ὶ ὦ̣[μεν ε]ὐ̣ε̣ρ̣γ̣ε̣τ̣η(μένοι).

——

-ca.?-

Bgu 1 22
114 μ.Χ. Arsinoite

Ἀπίωνι(*) στρ(ατηγῷ) Ἀρσι(νοίτου) Ἡρακ(λείδου) με(ρίδος) παρὰ Ταρμούθιος τῆς Φίμωνος λαχανοπώλης ἀπὸ κώμης Βακχιάδος τὸ παρὸν μὴ ἔχουσα κύ- ριον· τῇ δ τοῦ ἐνεσ- τῶτος μηνὸς Φαρμοῦθι, ἁπλῶς μηδὲν ἔχουσα πρᾶγμα πρὸς ἐμὲ, Ταορσε- νοῦφις, γυνὴ Ἀμμωνίου τοῦ καὶ Φίμωνος πρεσβυ- τέρου κώμης Βακχιάδο(ς) ἐπελθοῦσα ἐν την(*) οἰ- κί̣α̣ μου ἄλογόν μοι ἀη- δίαν συνεστήσατο καὶ περιέσχισέ μοι τὸν κι- τῶνα(*) καὶ τὸ πάλλιον οὐ μόνον, ἀλλὰ καὶ ἀπε- νέγκατό μου ἐν τῇ ἀη- δί̣α̣ ἅς εἶχον κιμένας(*) ἀπὸ τιμῆς ὧν πέπρακον

λαχάνων (δραχμὰς) ις. καὶ τῇ ε τοῦ αὐτοῦ μηνὸς ἐπελθὼν ὁ ταύτης ἀνὴρ Ἀμμώνιος ὁ καὶ Φίμων εἰς τὴν οἰκίαν μου ὡς ζητῶν τὸν ἄνδρα μο(υ) ἄρας τὸν λυχνόν μου ἀνέβη εἰς τὴν οἰκίαν μου, ἀπενέγκατο οἶχον(*) κίμενον(*) ζεῦγος ψελλίω(ν) ἀργυρῶν ἀσήμου ὁλκῆς (δραχμὰς) μ, τοῦ ἀνδρός μου ὤντος(*) ἐπὶ ξένης. διὸ ἀξιῶ ἀκθῆναι(*) τοὺς ἐνκαλουμένους ἐπί σε πρὸς δέουσ(αν) ἐπέξοδον. εὐτύχι(*) . . Ταρμοῦθις ὡς (ἐτῶν) λ, οὐ(λὴ) ποδὶ δεξιῷ. (ἔτους) ̣ιζ Αὐτοκράτορος Καίσαρος Νέρουα Τραιανοῦ Σεβαστοῦ Γερμανικοῦ Δακικοῦ. Φαρμοῦθι ς.

p.oxy 8 1120
3ος αι. μ.Χ. Oxyrhynchus

περὶ ἧς πέπονθεν ἐπὶ τόπων ὁ ἀνὴρ τῆς θυγατρός μου Πολυδεύκης βιβλείδια(*) ἐπιδέδωκα ταῖς τάξεσι κατὰ τοῦ ὑ(*)βρίσαντος αὐτὸν Εὐδαίμονος, ἀλλὰ οὗτος ἐξείσχυσεν(*) τὰ βιβλείδια(*) ἀθετηθῆναι, ἵ(*)να μὴ φανῇ ἐπελευστικός. κατὰ τοῦτο μαρτύρομαι τὴν βίαν γυνὴ χήρα καὶ ἀσθενής. Θῶνις γὰρ ὢν κουράτωρ Σεύθου εἰσεπήδησεν εἰς τὴν οἰκίαν μου καὶ ἐτόλ-

μησεν ἀποσπάσαι δού-
λην μου Θεοδώραν μὴ
ἔχων(*) κατ’ αὐτῆς ἐξου-
σίαν, ὡς ἐν παντὶ σθέ-
νει βίαν με σχεῖν.

Sb 14 11.904
184 μ.Χ. Tebtynis

Αὐρηλίῳ Ἀν̣τ̣ωνείνῳ (ἑκατοντάρχῳ)
παρὰ Εὐδαιμ[ο]νίδος τῆς Ζωίλου, γεου-
χούσης ἐν κώμῃ Τεπτῦνι. πρῴην
οἱ τῆς κώμη[ς] πρ[εσ]βύτερο̣[ι] ἐπῆλ-
θάν μοι καὶ βιαίως χρώμενοι ἐπί-
ρασαν(*) ἀπαιτῖν(*) σιτικὰ δημόσια ὡς
ὀφειλόμενα ὑπὸ ἀγνώστου μοι ἀν-
θρώπου, καταφρονοῦντές μου ὡς
γυναικὸς ἀβοηθήτου(*) καὶ χήρας
κατεσστώσης(*). μὴ ἀνεχ[ο]μένης
δ’ ἐμοῦ ἐργολαβηθῆναι, α̣ὐθαδῶ̣ς̣
χρησάμενοι ἀποσπάσαντες δού-
λην μου Σ̣αραπιάδα, ἃ εἶχεν πέριξ
αὐτὴν ἱ(*)μ̣ά̣τια ἐβάσταξαν καὶ βί̣α̣ν
αὐτῇ πλ[εί]στην ἐποιήσαντο(*). ὅθε̣ν̣
κέλευσο̣ν̣ [ἀχθ]ῆναι αὐτοὺς καὶ δ̣ια-
κοῦσαί [μου], ̣ἵν̣α̣ δ̣υ̣νη̣θῶ δ̣ι̣ὰ̣ ̣τ̣ῆ̣ς
σῆς βοη[θείας] τ[. . ]. τα[. ]ο. . . .
μ̣ε̣ι̣ν̣.  και[. . . . . ]. . [. ]. . [. ] . ε. . . . ας
ει. [. . ]. οι. . [. . . . ]ζ̣ε. . [. ]π. [. . . . ]. . ιο
τ[. ]. πο. ατριτ[. . . ]. [. . . ]ο[ -ca.?- ]
. . . [. ]. . ίοις τῶν ος[ -ca.?- ]

Sb 6 9421
3ος αι. μ.Χ. Oxyrhynchus

Αὐρηλίῳ Ἀλεξ[άνδρῳ τῶν]
ἐπεὶ(*) τῆς εἰρήνη[ς]
παρὰ Αὐρηλίου Ἀ̣[. . . . . . .  τοῦ]
καὶ Ἀφύγχιος ἀγων̣[οθετήσαν-]
τος τῆς Ὀξυρυγχε̣ι̣τῶν πόλ̣[εως].
ἑσπέρας τῇ διελθούσῃ ἡμέρᾳ
Διδύμη τις, γυνὴ Ἀγαθοῦ Δα̣[ί-]

μονος μαγείρου, παρι(*)οῦσα τὴν
οἰκίαν μου καὶ εὑροῦσα με ἐστῶ-
τα μετὰ τῶν ἡμετέρων, ἐξύβρι-
σεν ἡμᾶς ῥητοῖς τε καὶ ἀρήτοις(*),
γυνὴ ἀναιδείᾳ μεγίστῃ καὶ θρά-
σει κεχορηγημένη· ἔπιτα(*)
ἐπισχόντι μοι αὐτὴν παραι-
νοῦντος ἀποσχέσθαι ἡμῶν
διὰ τὸ τῆς ὥρας ἄδηλον εἰς το-
σοῦτον ἀπονοίας ἐλθοῦσα ἐπι-
πηδήσασά μοι, ἀνασεσοβημέ-
νη τοὺς τρόπους, ἐξέτεινεν
καὶ τὰς χεῖρας καὶ ἔτ[υ]ψέν με
καὶ διελοιδορήσατ[ό τισι τῶν]
περιεστώτων θυ[γατριδῶν]
οὓς ἐμαρτυράμην, ο̣[ὐ μόνους δέ,]
ἀλλὰ καὶ ἕνα τῶν ̣τ[ῆς ἡμετέρας]
πόλεως δημοσίων [παρόντα].
τοσαῦτα οὖν πεπον̣[θὼς ἐγὼ]
ὁ τυχὼν πεπλ̣[ηγμένος δίδω-]
μί σ̣ο̣ι τὰ βιβλεί[δια](*) [ἀξιῶν σε]
κελεῦσαι ἀχθῆ[ναι αὐτὴν ἐπὶ]
σέ, ἵνα τῆς πρὸ[ς ἅπαντάς σου]
[εὐε]ρ[γε]σί[ας] ̣τ̣ύχ[ω. Διευτύχει].
-- -- -- -- -- -- -- -- -- --

Sb 14 11392
1ος-2ος αι. μ.Χ. Bacchias
-- -- -- -- -- -- -- -- -- --

παρὰ ̣ εμο ̣ ̣ ̣ ̣ [ -ca.?- ]
ὁ ἀνήρ μου Ἰ[ο]ύλιος
Διογένους σὺν ̣ ̣ [ -ca.?- ]
κοράσιον τέκ̣να δύο
ἐξ αὐτοῦ ἔχουσα̣ π̣αρ’ ἕ-
καστα ἐγβαλὼν(*) με ἐκ τῆς
οἰκίας μετὰ τῶν τέκνων̣
μου βασταξαντα(*) πάν-
τα τὰ ἐν τῇ ο̣ἰκίᾳ̣ ̣ ̣ ̣ ̣ ̣ς
δε ̣ ̣ η οὐ μόνον ἀλλά
μ[ε πα]ρ’ ἕκ̣α̣σ̣τα δέρων̣ [ -ca.?- ]
[ -ca.?- ] ̣ [ -ca.?- ] ·

p.oxy 58 3926
246 μ.Χ Oxy<Thinite

Ἰουλίῳ Ἀμμωνίῳ τῷ καὶ Εὐαγγέλῳ στρατηγῷ Θινίτου, παρὰ Αὐρηλίας Σενπατοῦτος Πανούριος Τιτοῆτος ἀπὸ Θινός. περὶ ἑσπέραν τῆς διελθούσης ἡμέρας πλῆθος κακούργων ἐπῆλθεν τῇ οἰκίᾳ μου ἐν κώμῃ Θινὶ καὶ ἔπληξαν τὸν ἄνδρα μου Τιτοῆν Κορτᾶτος σκυτέα κατὰ τοῦ ἀριστεροῦ ὤμου [κ]α̣ὶ τῆς ἀριστερᾶς χειρὸς ξίφεσι καὶ τὸν υἱόν μου Ψεκῆν καὶ ἔπληξαν κατὰ τῆς κεφαλῆς καὶ ὅ̣σ̣α εὗρον ἐπὶ τῆς οἰκίας ἐβάσταξαν, κατασχίσαντες πάσας τὰς θύρας. ἀγνοηθέντων οὖν μοι τῶν κακούργων ἐπιδίδωμι τάδε τὰ βιβλίδια ἀξιοῦσα ἀ̣ποτάξαι σε ὑπηρέτην τὸν ἐποψόμενον τὴν περὶ αὐτοὺς διάθεσιν πρὸς τὸ δύνασθαι αὐτοὺς τῆς δεούσης θεραπείας τυχεῖν. vac. ?

(ἔτους) γ Αὐτοκράτορος Καίσαρος Μάρκο\υ/ Ἰουλίου Φιλίππου Εὐσεβοῦς Εὐτυχοῦς καὶ Μάρκου Ἰουλίου Φιλίππου γενναιοτάτου καὶ ἐπιφανεστάτου Καίσαρος Σεβαστῶν, Μεχεὶρ ι̣ε.

(hand 2) Αὐρηλ(ία) Σ̣ενπατοῦς Πανοῦρ Τιτοῆτος ἐπιδ̣έδωκα. ἔγραψα ὑπ(ὲρ αὐτῆς) Αὐρήλ(ιος) Σ̣ωτὴρ Σωτῆρος μὴ ἰ(*)δυίας(*) γράμματα.

vac. ?

(hand 3) ἐπεστάλη Σαραπίων ὑ(πηρέτης). ἴ̣σ̣ον βιβλιδίου Σενπατοῦτος ἐπιστέλλαιταί(*) σοι ὅ̣π̣ως σ̣υνπαραλαβὼ\ν/ δ̣ημόσιον ἰατρὸν καὶ ἐπιδὼν τὴν περὶ τὸν ἄνδρα αὐτῆς

καὶ τὸν υἱὸν διάθεσιν ἐνγρᾴ-
φ̣ως προσ̣φωνήσῃ̣ς.
[(ἔτους) δ] Μ̣εχ[εὶ]ρ ιε.
-- -- -- -- -- -- -- -- -- --

# Βιβλιογραφία


Bagnall, R. (1989). Official and Private Violence in Roman Egypt. *The Bulletin of the American Society of Papyroloists*, 26(3), pp.201–216.

Baldwin, B. (1963). Crimes and Criminals in Graeco-Roman Eypt. *Aegyptus*, 43(3), pp.256–263.

Bryen, A.. (2008). Visibility and Violence in Petitions from Roman Eypt. *Greek, Roman and Byzantine Studies*, 48, pp.181–200.

Davies, R.. (1973). The Investigation of Some Crimes in Roman Egypt. *Ancient Society*, 4, pp.199–212.

Drexhage, H.J. (1988). Eigentumsdelikte im römischen Ägypten (1.-3.Jh. n.Chr.). Ein Beitrag zur Wirtschaftsgeschichte. In: *Aufstieg und Niedergang der römischen Welt, 2, 10, 1*. pp.952–1004.

Evans Grubbs, J. (2005). *Women and the law in the Roman Empire : a sourcebook on marriage, divorce and widowhood*. London.

Hobson, D. (1993). The Impact of Village Life in Roman Egypt. In: B. Halpern and D.W. Hobson, eds., *Law, Politics and Society in the Ancient Mediterranean World*. Sheffield, pp.193–219.

Kelly, B. (2011). *Petitions, litigation, and social control in Roman Egypt*. Oxford ; New York.

Lewis, N. (1970). On Paternal Authority in Roman Eypt. *Revue Internationale des Droits de l' Antiquité*, 17, pp.251–258.

van Loon, A. (2014). *Law and Order in Ancient Egypt: The Development of Criminal Justice from the Pharaonic New Kingdom until the Roman Dominate*. MA Thesis.

Modrejewski, J. (1952). Private Arbitration in the Law of Graeco-Roman Egypt. *The Journal of Juristic Papyrology*, 6, pp.239–256.

Taubenschlag, R. (1955). *The law of the Graeco-Roman Egypt in the light of the papyri*. Warszawa.